τοῦ τοῦ ♃ δὲ ἀπόντος, τῷ τοῦ ☿ συνοικειωθεὶς, κεκινημένας μὲν καὶ ὀρεκτικὰς, εὐλαβεῖς δὲ καὶ ὀκνηρὰς τὰ πολλὰ, καὶ δι' αἰσχρὸν φυλασσομένας, ♂ δὲ, μόνῳ μὲν συνὼν ἢ συσχηματισθεὶς ὁ τῆς ♀, ποιεῖ λάγνους καὶ καταφορεῖς, καὶ μᾶλλον ῥαθύμους, ἐὰν καὶ ὁ τοῦ ♃ αὐτοῖς προσγένηται, κἂν μὲν ὁ τοῦ ♂ ὑπὸ τὰς αὐγὰς ᾖ, συμπλέκονται δούλοις, ἢ ταπεινοτέροις ἢ ἀλλοφύλοις, ἐὰν δ' ὁ τῆς ♀, ὑπερέχουσιν, ἢ δεσπόταις ἑαυτῶν, ἑταίρων ἢ μοιχαλίδων ἐπέχουσαι τρόπον, κἂν μὲν τεθηλυσμένοι ὦσι τοῖς τόποις ἢ τοῖς σχήμασιν οἱ ἀστέρες, πρὸς τὸ διατίθεσθαι μόνον καταφορεῖς, ἐὰν δὲ ἠῤῥενωμένοι, καὶ πρὸς τὸ διατιθέναι τὰς γυναῖκας. ὁ μέντοι τοῦ ♄ τοῖς προειρημένοις σχήμασι συνοικειωθεὶς, ἐὰν μὲν καὶ αὐτὸς ᾖ τεθηλυσμένος, ἀσελγείας αἴτιος μόνον γίνεται. ἐὰν δὲ ἀνατολικὸς καὶ ἠῤῥενωμένος, ἐπιψόγους ἵστησιν, ἢ ἐπιψόγοις ἐραστὰς ἀπεργάζεται. τοῦ μὲν τοῦ ♃ πάλιν ἀεὶ, πρὸς τὸ εὐσχημονέστερον τῶν παθῶν συλλαμβανομένου. τοῦ δὲ τοῦ ☿, πρὸς τὸ διαβοητότερον, καὶ εὐπταιστότερον.

## περὶ τέκνων.

Ἐπεὶ δὲ τῷ περὶ γάμων τόπῳ, καὶ ὁ περὶ τέκνων ἀκολουθεῖ, σκοπεῖν δεήσει τοὺς τῷ κατὰ κορυφὴν τόπῳ, ἢ τῷ ἐπιφερομένῳ, τουτέστι τῷ τοῦ ἀγαθοῦ δαίμονος, προσόντας ἢ συσχηματιζομένους, εἰ δὲ μὴ, τοὺς τοῖς διαμέτροις αὐτῶν, καὶ ☾ μὲν καὶ ♃ καὶ ♀, πρὸς δόσιν τέκνων λαμβάνειν. ☉ δὲ καὶ ♂ καὶ ♄ πρὸς ἀτεκνίαν καὶ ὀλιγοτεκνίαν. τὸν δὲ τοῦ ☿ πρὸς ὁποτέρους ἂν αὐτῶν τύχῃ συσχηματισθεὶς, ἐπίκοινον, καὶ ἐπιδοτῆρα ὅταν ἀνατολικὸς ᾖ, ἀφαιρέτην δ' ὅταν δυτικὸς, οἱ μὲν οὖν δοτῆρες ἁπλῶς οὕτω κείμενοι κατὰ μόνας ὄντες μοναχὰ διδόασι τέκνα, ἐν δισώμοις δὲ καὶ θηλυκοῖς ζῳδίοις, ὁμοίως ἐν τοῖς πολυσπέρμοις, οἷον ♋ ♏ καὶ ♓, δύο ἢ καὶ πλείονα, καὶ ἠῤῥενωμένοι μὲν τοῖς τε ζῳδίοις, καὶ τοῖς πρὸς ☉ σχηματισμοῖς, ἄῤῥενα, τεθηλυσμένοι δὲ θήλεα, καθυπερτερηθέντες δὲ ὑπὸ τῶν κακοποιῶν, ἢ καὶ ἐν στερεώδεσι ζῳδίοις τυχόντες, οἷον ♌ ♍, διδόασι μὲν, οὐκ ἐπὶ καλῷ μὲν οὐδ' ἐπὶ διαμονῇ. ☉ δὲ καὶ οἱ κακοποιοὶ, διακατασχόντες τοὺς εἰρημένους τόπους, ἐὰν μὲν ἐν ἀρσενικοῖς ζῳδίοις ὦσιν, καὶ στερεώδεσι ζῳδίοις, καὶ ὑπὸ τῶν ἀγαθοποιῶν μὴ μαρτυρηθέντες, διδόασι μὲν ἐπισινῆ δὲ καὶ ὀλιγοχρόνια. Τῶν δὲ αἱρέσεων ἀμφοτέρων λόγον ἐχουσῶν, πρὸς τὰ τεκνοποιὰ ζῴδια, δοθέντων τέκνων ἀποβολαὶ γενήσονται